# ΚΟΣΜΑ ΒΕΣΤΙΤΩΡΟΣ
# ΑΝΕΚΔΟΤΟΝ ΕΓΚΩΜΙΟΝ
# ΕΙΣ ΙΩΑΝΝΗΝ ΤΟΝ ΧΡΥΣΟΣΤΟΜΟΝ

Ἐν τῷ δευτέρῳ τόμῳ τῆς Ἐπετηρίδος τῆς Ἑταιρείας τῶν Βυζαντινῶν Σπουδῶν [1], ἐκδοὺς τὰ πέντε ἀνέκδοτα ἐγκώμια τοῦ Κοσμᾶ Βεστίτωρος εἰς τὴν ἀνακομιδὴν τοῦ λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, εἶχον ὑποσχεθῆ καὶ τὴν προσεχῆ ἔκδοσιν τοῦ ἀνεκδότου ἐγκωμίου τοῦ Κοσμᾶ Βεστίτωρος εἰς τὸν Ἰωάννην τὸν Χρυσόστομον. Τὴν ὑπόσχεσιν ταύτην ἐκπληρῶν νῦν, ἐκδίδω ἐνταῦθα τὸ ἐγκώμιον τοῦτο ἐπὶ τῇ βάσει τῶν ἀκολούθων τριῶν κωδίκων, ὧν τοῦ πρώτου εἶχον πρὸ ὀφθαλμῶν φωτογραφικὸν ἀποτύπωμα εὐμενῶς ἀποσταλέν μοι ὑπὸ τῆς βιβλιοθήκης τῶν Παρισίων, τοῦ δὲ δευτέρου, τοῦ ὑπ' ἀριθμὸν 1968 κώδικος τῆς μεγίστης Λαύρας τοῦ Ἄθωνος, ἀντίγραφον τοῦ παν. Σωφρονίου Λαυριώτου ἰατροῦ, ὃν καὶ ἐνταῦθα θεωρῶ καθῆκον νὰ εὐχαριστήσω θερμῶς.

1. Paris B. N. cod. gr. 1454 (τοῦ 10 αἰῶνος), φύλλ. 168α—171α. Ἐν τῷ κώδικι τούτῳ τὸ εἰρημένον ἐγκώμιον φέρει ἐπιγραφήν: «Κοσμᾶ Βεστήτορος εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Ἰωάννην τὸν Χρυσόστομον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως καὶ περὶ τοῦ τῆς εὐσεβείας αὐτοῦ διωγμοῦ» [2].

2. Κῶδιξ ὑπ' ἀριθμὸν 1968 (τοῦ 1843), σ. 341—349 τῆς μεγίστης Λαύρας τοῦ Ἄθωνος [3]. Ἐν τῷ κώδικι τούτῳ τὸ εἰρημένον ἐγκώμιον φέρει ἐπιγραφήν; «Κοσμᾶ Βεστήτορος ἐγκώμιον εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν καὶ διαπρύσιον τῆς οἰκουμένης διδάσκαλον Ἰωάννην τὸν Χρυσόστομον».

3. Κῶδιξ ὑπ' ἀριθμὸν 301 (τοῦ 1581) φύλλ 405β—412α τῆς ἐν Ἀθήναις Ἐθνικῆς Βιβλιοθήκης [4]. Ἐν τῷ κώδικι τούτῳ τὸ εἰρημένον ἐγκώμιον φέρει ἐπιγραφήν: «Κοσμᾶ μαγίστορος λόγος ἐγκωμιαστικὸς εἰς τὴν

---

[1] Ἐν Ἀθήναις 1925, σ. 50 ἑ.

[2] Πρβλ. τὸν κατάλογον τῶν ἑλληνικῶν χειρογράφων τῆς ἐθνικῆς βιβλιοθήκης τῶν Παρισίων τοῦ Henri Omont, τομ. Β', σ. 48.

[3] Πρβλ. Σωφρονίου Εὐστρατιάδου κατάλογον τῶν κωδίκων τῆς μεγίστης Λαύρας, σ. 368.

[4] Πρβλ. Ἰωάννου Σακκελίωνος κατάλογον τῶν χειρογράφων τῆς Ἐθνικῆς Βιβλιοθήκης τῆς Ἑλλάδος, σ. 51. Ὁ Σακελλίων ἐν τῷ καταλόγῳ αὐτοῦ συντόμως περιγράψας τὸ χειρόγραφον ἔχει παραλίπει νὰ ἀναγράψῃ τὸ ἔργον τοῦτο, κακῶς δὲ σημειοῖ: «κατὰ τὸ ͵ζπβ' (+1574) γεγραμμένον, ὡς σημειοῦται ἐν τῷ τέλει», διότι ἡ σημείωσις τοῦ ἀντιγραφέως εὕρηται ἐν φύλλῳ 212α καὶ ἀναφέρει ὡς χρόνον τῆς ἀντιγραφῆς ͵ζπθ' (+1581).

Institutional Repository - Library & Information Centre - University of Thessaly
04/06/2024 11:46:35 EEST - 3.149.233.40

σεβασμίαν κοίμησιν τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου».

Τὸ κείμενον τοῦ ἐγκωμίου τούτου ἐν τοῖς τρισὶν ἀνωτέρω κώδιξιν ἐλαχίστας παρουσιάζει διαφοράς, προερχομένας, ὡς τὰ πολλά, ἐξ ἀβλεψίας τῶν ἀντιγραφέων καὶ ἑπομένως ἀναξίας λόγου. Ἄξιον μόνον σημειώσεως εἶναι ἐνταῦθα ὅτι, ἐνῷ ἐν τοῖς δυσὶ πρώτοις κώδιξι τὸ κείμενον τοῦ ἐγκωμίου τούτου περατοῦται διὰ τοῦ: «ἡ τῆς τριαδικῆς ὁμολογίας ζύμη, ἣν ἡ τῆς ἐκκλησίας ἀρτοκοπήσασα πέτρα, ὡς ἐν πήλᾳ τῇ τούτου διδαχῇ τὸν ἐν λιμῷ λόγου διατρέφει λαὸν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.», ἐν τῷ τρίτῳ κώδικι, μετὰ τὰς λέξεις «τὸν ἐν λιμῷ λόγου διατρέφει λαόν», ἔχουσι προστεθῆ τὰ ἀκόλουθα: «Ἠτήσατο δὲ τὸν Θεὸν ἅμα τῷ προαχθῆναι αὐτὸν ἐν πατριάρχαις χάριν αὐτῷ Πνεύματος καταπεμφθῆναι τοῦ πᾶσαν θεόπνευστον ἑρμηνεῦσαι Γραφήν, ὃς καὶ εἰσακουσθεὶς πρὸς οἷς καὶ χάριν ἐκκεχυμένην ἐν χείλεσιν ἔλαβεν, ἀλλὰ καὶ πόθον εἰς ἀκοὴν ὠτίων ἐφιλοτιμήθη καὶ ἀγάπην εἰς αὐτὸν πάντων τῶν ἐν τῇ κτίσει κατεκέρδισε. Γέγονε δὲ καὶ πλείω μετὰ τὴν ἐπισκοπὴν ἐγκρατής· τοσοῦτο γὰρ ἀτροφίαν καὶ ἀποσίαν ἐξήσκησεν, ὡς ἀποστρακωθῆναι τούτου καὶ αὐτὴν τὴν τοῦ σώματος φύσιν. Ὥσπερ γὰρ τὰ ἄνυδρα λόφη τῆς βοτανικῆς χλόης ἀμοιροῦσιν, οὕτω καὶ ἡ τοῦ Χρυσοστόμου τιμιωτάτη σὰρξ δι' ἄκραν τοῦ ὑγροῦ καταφρόνησιν καὶ αὐτῆς, φημι, τῆς τῶν ἀδήλων πόρων ἐπιδερματίδος ἐγυμνώθη τὴν πόαν. Οὐκ ἐκαυχήσαντό ποτε γαστρὸς εἰς αὐτὸν κατασκιρτήματα, οὐ μαγείρων μαγγανεύματα, οὐ τραπεζῶν ἀκρασίαι. Οὐκ ἐστέναξεν ἀρνός ποτε διὰ τὴν τοῦ Χρυσοστόμου κοιλίαν σφαζόμενος, οὐκ ᾤμωξε λαρυγγοτομούμενος ὄρνις, οὐκ ἐσχάρισαν δι' αὐτὸν παγιδευθέντες ἰχθύες, οὐκ ἐκοπίασε βοῦς ἐν μύλου τροχάσμασι δι' αὐτὸν ἀλέθων, οὐκ ἐμόχθησε ζυμωτής, ἐν πίλᾳ [1] δι' αὐτὸν ἀρτοκοπήσας. Ἦν γὰρ αὐτῷ βρῶμα μὲν τὸ ἀνήδονον τῆς ἐξιτηλίας πτισανοκριθὲς χυλάριον, οὗ καὶ ἡ γεῦσις ὑπὲρ ἡμέρας ἐν ὕδατι λαμβανόμενον καὶ μέτρῳ κεκανονισμένῳ σταθμιζομένη λήθην αὐτῷ καὶ τῆς χρονίας διαφόρως ὀρέξεως ἐνεποίει. Ἐσθὴς δὲ τούτου τὸ μὴ τριβόμενον ἔνδυμα, ἀλλὰ τρίχινον ῥάκος, ὁ μεταδιδόμενος δεύτερος ἀεὶ παρ' αὐτοῦ τῷ μὴ ἔχοντι χιτὼν καὶ οὐχ ὁ τρίτος πρὸς ὑπαλλαγὴν ἀμφιέσεως πεφυλαγμένος. Ὕπνος δὲ τούτου ὁ μὴ πρὸς ἡδυπάθειαν καρηβαρῶν ἀναπαύσεως, ἀλλ' ὁ ἐν ἀποκρεμάσει σχοινίου κληροδοτικῶς ἐξ ὀφθαλμῶν ἐξαρπαζόμενος. Ἐν αὐτῷ γὰρ τὰς χεῖρας ἐν ταῖς νυξὶ μεταιωρίζων καὶ ὑποτραχήλως ὑπ' αὐτοῦ βασταζόμενος καὶ τὸν ὕπνον ὀρθοκαμεῖν ἐβιάζετο. Καὶ τὸ ὑπογένειον τῷ τραχήλῳ τοῦ συμπλέγματος τραυματίζων τιλλωτικαῖς τοῦτο κατεψέδνου κατατριβαῖς.

---

[1] Πιθανῶς μύλᾳ.

Institutional Repository - Library & Information Centre - University of Thessaly
04/06/2024 11:46:35 EEST - 3.149.233.40

Τοσαῦσα περὶ γεννήσεως, πατρίδος, ἀγωγῆς, παιδεύσεως, πολιτείας, ἐκλογῆς, ἱερωσύνης, ποιμεναρχίας, ἀσκήσεως καὶ διδασκαλίας τοῦ πατρὸς ἡμῶν Χρυσοστόμου. Πάντα γὰρ αὐτῷ κατευθύνας ὁ θεός, ἄνδρα τοῦτον ἐπιθυμιῶν, τῶν τοῦ Πνεύματος, ἐποίησε καὶ κατορθωτὴν αὐτὸν ὅλων τῶν ἀγαθῶν καταστήσας ἄνδρα τοῦτον ἐπιτυγχάνοντα πάσης ἀνέδειξεν ἀρετῆς ἐν Χριστῷ Ἰησοῦ, τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν».

Ἁπλῆ ἀνάγνωσις τοῦ κειμένου τούτου πείθει πάντα ὅτι δὲν πρόκειται περὶ συνεχείας τοῦ ἡμετέρου κειμένου, ἀλλὰ περὶ προσθήκης ἄλλοθεν εἰλημμένης, ὡς γίνεται δῆλον καὶ ἐκ τοῦ χωρίου: «τοσαῦτα περὶ γεννήσεως, πατρίδος, ἀγωγῆς, παιδεύσεως, πολιτείας, ἐκλογῆς, ἱερωσύνης, ποιμεναρχίας, ἀσκήσεως καὶ διδασκαλίας τοῦ πατρὸς ἡμῶν Χρυσοστόμου», περὶ ὧν οὐδεὶς γίνεται λόγος ἐν τῷ ἡμετέρῳ ἐγκωμίῳ.

Ἄξιον ἰδίας προσοχῆς εἶναι τὸ ὑπ' ἀριθμὸν 226 χειρόγραφον τῆς Ἐθνικῆς ἡμῶν Βιβλιοθήκης, τὸ γραφὲν κατὰ τὸν δέκατον αἰῶνα [1]. Ἐν τῷ χειρογράφῳ τούτῳ, μεταξὺ ἄλλων, εὕρηται καὶ ἔργον φέρον ἐπιγραφὴν «Βίος καὶ πολιτεία καὶ ἀγὼν καὶ μετάστασις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου συγγραφεὶς παρὰ Κοσμᾶ Βεστήτορος» καὶ ἀρχόμενον: «Ὃν τρόπον τοῖς φιλοχρύσοις ἀνθρώποις αἱ ὀρυγαὶ τῶν θησαυρῶν τῶν κεχωσμένων ἐπιθυμητικῶς ἐνεργοῦνται». Τὸ ἔργον τοῦτο, ὅπερ, καταλαμβάνον ἐν τῷ ἀνωτέρῳ κώδικι τὰ φύλλα 402α—408β, μένει ἀτελές, ἐκπεσόντων μετὰ τὸ φύλλον 408β ἑνὸς ἢ πλειόνων φύλλων, ἂν καὶ ἄρχεται διὰ τῶν αὐτῶν λέξεων, δι' ὧν καὶ τὸ ἡμέτερον ἐγκώμιον, εἶναι ἐντελῶς διάφορον [2] τούτου, ὡς καὶ ἐκ τῆς ἐπιγραφῆς αὐτοῦ γίνεται δῆλον. Ἐν αὐτῷ γίνεται λόγος περὶ τῆς γεννήσεως καὶ παιδικῆς ἡλικίας τοῦ Χρυσοσόμου [3], τῆς παιδεύσεως, τῆς ἀφιερώσεως αὐτοῦ εἰς τὸν ἀσκητικὸν βίον, τῆς χειροτονίας εἰς ἀναγνώ-

---

[1] Πρβλ. Ἰωάν. Σακκελίωνος, Κατάλογον τῶν χειρογράφων τῆς Ἐθνικῆς Βιβλιοθήκης τῆς Ἑλλάδος, σ. 43.

[2] Ἐκτὸς τῆς ἐν ἀρχῇ ὁμοιότητος, εὑρίσκομεν ἐν τῷ λόγῳ τούτῳ καὶ τὸ ἐν τῷ ἡμετέρῳ ἐγκωμίῳ ἀναφερόμενον: «ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου εἶπε: μακαρία μὲν πάτερ ἡ τοῦ στόματός σου φωνὴ καὶ ὁ νοῦς, ὃν ἐξήσκησας» κ.τ.λ. μετά τινων λεκτικῶν παραλλαγῶν ἐλαχίστων.

[3] «Φέρε οὖν λοιπὸν βραχεῖ διεξέλθωμεν τὰ κατὰ τὴν πρώτην ἡλικίαν τοῦ γενναίου τούτου καὶ θαυμαστοῦ διδασκάλου, ἵνα οὕτως ὁδῷ βαδίζοντες ἐπὶ τὰ τῆς ἐπισκοπῆς τοῦ ἁγίου τούτου κατορθώματα ἐλθόντες πᾶσι τοῖς πιστοῖς ὑπογραμμόν τινα καὶ ὑποθήκην καταλίπωμεν τῆς πρὸς αὐτὸν μιμήσεως. Πατρὶς τοιγαροῦν τοῦ μεγάλου ἐν ἱερεῦσι Χρυσοστόμου ἡ τῶν Ἀντιοχέων ἐξάρχουσα πόλις, γεννήτορες δὲ Σεκοῦνδος ὁ ἀοίδιμος καὶ Ἀνθοῦσα ἡ ἀείμνηστος, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς.»

Institutional Repository - Library & Information Centre - University of Thessaly
04/06/2024 11:46:35 EEST - 3.149.233.40

στην, διάκονον, πρεσβύτερον καὶ πατριάρχην Κωνσταντινουπόλεως, τῶν συγγραμμάτων αὐτοῦ, τῆς ὀργῆς τῆς Εὐδοξίας ἕνεκα τοῦ ὑπὸ τοῦ Χρυσοστόμου ἐλέγχου αὐτῆς ἐπὶ τῇ ἁρπαγῇ τοῦ ἀμπελῶνος τῆς χήρας, τῆς ὀργῆς τοῦ Ἀλεξανδρείας Θεοφίλου κατὰ τοῦ Χρυσοστόμου καὶ τῆς συγκλήσεως τῆς παρὰ τὴν Δρῦν συνόδου.

Οὕτως ἐχόντων τῶν πραγμάτων, ἠδύνατό τις νὰ εἰκάσῃ ὅτι ἡ ἀνωτέρω μνημονευθεῖσα προσθήκη ἐν τῷ ἐπιλόγῳ τοῦ ἡμετέρου ἐγκωμίου εἰς τὸν Ἰωάννην τὸν Χρυσόστομον, ἡ ἐν τῷ κώδικι 301 ἀπαντῶσα, θὰ ἀπετέλει τὸν ἐπίλογον τοῦ λόγου τοῦ Κοσμᾶ Βεστίτωρος εἰς τὸν Ἰωάννην τὸν Χρυσόστομον, τοῦ περιεχομένου ἐν τῷ κώδικι 226, ἐξ οὗ καὶ ἐλήφθη ὑπὸ τοῦ ἀντιγραφέως τοῦ κώδικος 301. Ἡ εἰκασία ὅμως αὕτη δὲν εἶναι ὀρθή, καθόσον τὰ περὶ ἐγκρατείας τοῦ Χρυσοστόμου ἀναφερόμενα ἐν τῷ ἐπιλόγῳ τοῦ κώδικος 301 ἀναφέρονται ἤδη ἐν τῷ κειμένῳ[1] τοῦ λόγου εἰς τὸν Χρυσόστομον τοῦ κώδικος 226 καὶ ἐπομένως δὲν εἶναι δυνατὸν νὰ ἀναφέρωνται καὶ ἐν τῷ ἐπιλόγῳ τοῦ λόγου τούτου.

### *Κοσμᾶ Βεστήτορος ἐγκώμιον εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν καὶ διαπρύσιον τῆς οἰκουμένης διδάσκαλον Ἰωάννην τὸν Χρυσόστομον.*

Ὃν τρόπον τοῖς φιλοχρύσοις ἀνθρώποις αἱ ὀρυγαὶ τῶν κεχωσμένων θησαυρῶν ἐπιθυμητῶς ἐνεργοῦνται, ὡς ἀπὸ κέντρου γάρ τινος ὀξυτάτου πρὸς τὸ τοῦ πλούτου νυσσόμενοι φίλτρον ἀμογητὶ πρὸς τὸ τῆς ἐργασίας ἐγκύπτουσιν ἀσχολούμενοι βάθος, οὕτω καὶ ὁ τοῦ Χρυσοστόμου πατρὸς ἡμῶν καὶ μελισταγοῦς διδασκάλου τὸν ἐνάρετον κατατολμῶν ἐγκωμιάσαι βίον ὡς ἔμψυχον τοῦτον χρυσὸν ἀσπαζόμενος ἐπὶ τὸν ὀρεκτικὸν αὐτοῦ τῶν κατορθωμάτων βυθόν, τὸν τῆς ἐπαινογραφίας, ἰχνηλατικῶς ἐναπο-

---

[1] «Ἐγχειρισθεὶς τοίνυν τοὺς τῆς ἁγίας ἐκκλησίας ὁ μέγας ἐν ἱερεῦσι Χρυσόστομος τῇ θείᾳ χάριτι οἴακας τοσαύτην ἑαυτῷ τὴν ἐγκράτειαν προσήκατο ὡς ἀποστρακωθῆναι τούτου καὶ αὐτὴν τὴν τοῦ σώματος φύσιν. Ἦν δὲ αὐτῷ ἡ τροφὴ τὸ ἀπὸ κριθῆς γινόμενον χυλάριον καὶ αὐτὸ δὲ ὑπὸ τῆς μακαρίας Ὀλυμπιάδος, τῆς ὄντως ἁγίας, διὰ πιστοῦ οἰκέτου πεμπόμενον, ἐσθὴς δὲ τούτου ἡ μὲν ἔνδοθεν, καθὼς προείπομεν, ἐκ τριχῶν ὑφασμένη, ἡ δὲ ἐπιφανὴς κατὰ τὸ τῆς ἀξίας χρῆμα πάντοτε μία καὶ αὐτή, δευτέρας μὴ ἐπιδεομένη. Εἰ δὲ καὶ προσηνέχθη αὐτῷ ἑτέρα τὴν πρώην εὐθέως μετεδίδου. Ἀλλὰ καὶ ἡ ἐν ταῖς ἑορταῖς πρὸς τάξιν ἀποκειμένη στολὴ καὶ αὐτὴ πάντοτε μία. Ὁ δὲ ὕπνος καὶ αὐτὸς οὐ τοσοῦτον εἰς ἀνάπαυσιν, ὅσον αὐτῷ εἰς κόπον προσεγίνετο· σχοινίῳ γὰρ κρεμαμένῳ τὸν τράχηλον ἑαυτοῦ ὑποτιθεὶς καὶ ὥσπερ ἀποκρεμάμενος ἐν αὐτῷ οὕτως τούτου μετελάμβανεν. Ὅθεν καὶ τοῦ ὑπογενείου αὐτοῦ τῇ τοῦ καλωδίου πλοκῇ πιεζομένου τιλλωτικαῖς κατατριβαῖς.»

Institutional Repository - Library & Information Centre - University of Thessaly
04/06/2024 11:46:35 EEST - 3.149.233.40

λαύειν ἐπιτηδεύει λογισμὸν ταῖς τούτου προσευχαῖς τὰ περὶ αὐτοῦ πιστῶς ἐπιρρίπτων θαυμάσια, κἂν ὅτι φευκτέος τῷ ἰσαγγέλῳ πατρὶ ὁ ἐξ ἀνθρώπων κεχρημάτικεν ἔπαινος. Ἀλλ' ἐπειδὴ καὶ ὁ Θεὸς ἀνυμνεῖσθαι παρὰ τῶν ἰδίων συγκαταβαίνει κτισμάτων, οὐχ' ὅπερ ἐστὶν ἄξιον παρ' αὐτῶν δοξαζόμενος, διότι κατὰ τὸ γεγραμμένον οὐ δυνήσεταί τις Θεόν, ὡς ὑπάρχει, δοξολογῆσαι· τίς γάρ, φησιν, ἑώρακεν αὐτὸν καὶ ἐκδιηγήσεται; ἢ τίς μεγαλυνεῖ αὐτὸν ὡς ἐγνωσμένον; ὁ κοπιῶν οὐ φθάνει· καὶ γὰρ ὅσον ἠδυνήθη καταλαβεῖν, τοσοῦτον ὑπερανέξει Θεὸς ἐρευνώμενος, πρέπει καὶ τῷ ἁγίῳ τούτῳ καὶ Χρυσοστόμῳ πατρὶ τὴν ὑπόχρεων ἀμοιβὴν διὰ τῆς τῶν θριάμβων ἐντεύξεως ἀκαταφθάστως ἀποδοῦναι. Πλὴν εἰ καὶ τὰ μεγάλα τῶν ἀρετῶν κατορθώματα μεγίστων χρήζουσι τῶν ἐγκωμίων, τὸν τῆς προπετείας καγὼ παρεκτείνω μου πόδα, διόπερ ἐπιεικὴς ἐν λόγοις καὶ χρηστὸς τοῖς σύμπασίν ἐστιν ὁ ἅγιος καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ τὸ ἔργον ἡμῶν. Οἶδεν, ὡς αὐτὸς ἀποστολικῶς διδάσκει, ὑστερεῖσθαι καὶ περισσεύεσθαι, συγγινώσκειν ἀγαπᾷ, συμπάσχειν ἐπιποθεῖ, οὐ ζητεῖ τὰ ἑαυτοῦ, τὴν ἀγάπην μὴ ἀσχημονεῖν πιστοφορεῖ καὶ ὅπερ ἂν ἔχῃ τις εὐπρόσδεκτον τοῦτο καὶ προσάγειν ἐντέλλεται. Τούτοις τεθαρρηκὼς πρὸς τὰ τῶν ὑπερβαθμίων ἀεροβατεῖν οὐ δειλιάσαιμι μέτρα. Καὶ εἰ μὲν τοῦ δρόμου τὴν νύσσαν εὐπεριστρέπτως καμπυλώσας ἀνεπαισχύντως τῷ θεωρητῇ παρασταίην τοῦ σταδίου, δεδοξασμένος ὁ πατὴρ ὁ ἐκ τῶν ἰδίων διδαχῶν ἐγγίσαι πρὸς αὐτὸν ἡμᾶς καταξιώσας, εἰ δὲ καὶ ὁ βραδὺς ἡμῶν νοῦς ὡς ἀγύμναστός τις καὶ τεναγίζων πῶλος τῶν εὐθέτων ἐξανταλλάσσει βαλβίδων καὶ τοῦ νοητοῦ παρωθούμενος τέρμονος πρὸς τὰς δὴ λεγομένας τῶν ἱππικῶν θύρας τὸ ἀσθενὲς ἡμῶν τοῦ φρονήματος καταπαύσει προπετές, ἀθεράπευτον ἡμῖν ἐκ τούτου τὸν θεατὴν ἀπεργαζόμενος, ὑπερυψοῦμεν αὐτὸν καὶ οὕτως. Ἐπειδή περ ἔθος τοῖς καλοῖς καὶ φιλοτέκνοις διδασκάλοις τῶν ἰδίων μαθητῶν μὴ ἀπωθεῖσθαι τοὺς πόνους, ἀλλὰ δέχεσθαι τούτους ἱλαρῶς καὶ ἐπισεμνύνειν αὐτοὺς πατρικῶς, μὴ ἀποβαλλομένους τὸ παρ' αὐτῶν ἐκπονηθέν, ἀλλ' ἐπιδιορθουμένους τὸ ἐξ αὐτῶν ἐπιτηδευθέν, ἀπάρξομαι δὴ τῆς παρούσης ὑποθέσεως, καθὼς ὁ ἐν ἐμοὶ χαμαίζηλος λογισμὸς παρὰ τῆς ἐπουρανίου δωρεᾶς τὸν τῆς γνώσεως χορηγεῖ φωτισμόν, τὸν ἐν ἀνοίξει στόματος καὶ ἀπαιδεύτων φιλοτιμούμενον γλώσσαις.

Ὁ τὸν Χρυσόστομον καὶ μέγαν ἐν ἱερεῦσι πατέρα θριαμβικοῖς γεραίρων ἐν ὕμνοις τὸν πλοῦτον τῆς χρηστότητος τοῦ Θεοῦ δοξολογεῖ· ὁ γὰρ τὸν Θεὸν ἐν ἑαυτῷ θησαυρίσαι σπουδάζων τῆς τοῦ Χρυσοστόμου διδασκαλίας τὰ κέρδη φιλοπονεῖ· οὐδὲν γὰρ αὐτῷ τι χαριζόμεθα τοῦτο ποιοῦντες, ἀλλ' ἑαυτοὺς μᾶλλον εὐεργετοῦμεν τοῦτο πράττειν ἐγχειροῦντες, καθάπερ καὶ ἡ Σαραφθία ποτὲ γυνὴ τῷ Ἡλίᾳ προσενηνοχυῖα τὸ ἄλευρον καὶ ἡ Σουλαμῖτις Ἐλισαίῳ τὸ ἔλαιον καὶ ἡ Σαμαρεῖτις αὐτῷ, φημι, τῷ Χριστῷ τὸ τῆς ἀνθρωπίνης δίψης παρηγορικὸν ὕδωρ καὶ ἡ μακαριζομένη χήρα τὰ

Institutional Repository - Library & Information Centre - University of Thessaly
04/06/2024 11:46:35 EEST - 3.149.233.40

δύο τῆς προσφορᾶς ἐν τῷ γαζοφυλακίῳ λεπτά. Ὡς οὖν αὗται τῶν δοθέντων παρ' αὐτῶν ὑπερευπορώτερα λαβεῖν κατηξιώθησαν, οὕτως καὶ ὁ τὸν Χρυσόστομον ἐπαινεῖν παρρησιαζόμενος πλείω τῶν προσαγομένων αὐτῷ διὰ τῶν λόγων εὐφημιῶν τῶν ἐξ αὐτοῦ κατατρυφᾷ τοῦ στόματος χαρισμάτων. Ἐπειδὴ τοσαύτη χάρις ἐν τοῖς χείλεσιν αὐτοῦ θεοβρύτως ἐξεχύθη ὡς εὐλογηθῆναι μὲν τοῦτον εἰς τὸν αἰῶνα, καταλάμψαι δὲ τούτου τὸν τῆς διδασκαλίας τερπνὸν καὶ γλυκύλαλον εἰς τὰ πέρατα φθόγγον. Καὶ γὰρ ἐπ' ἀληθείας αὐτῆς ἐξηρεύξατο λόγους πολλοὺς καὶ ἀγαθοὺς ἡ τούτου θεοδίδακτος καρδία, οὗ καὶ ἡ γλῶσσα τοῦ θαυμαστοῦ γραμματέως καὶ ὀξυγράφου καλάμου τῆς ἀπορροῆς ἐπέτυχεν ἀξίως. Καὶ τίς ὁ γραμματεὺς τοῦ ὀξυγράφου καλάμου; Ὁ μονογενὴς υἱὸς δηλονότι τοῦ Θεοῦ καὶ Πατρός, ὁ τῆς πατρικῆς φωνῆς πρὸς τὸ κατασκευασθῆναι τὴν κτίσιν τελεσιουργὸς ἐν σοφίᾳ Λόγος, ὁ καθάπερ ἐν καλάμῳ διαβητίζοντι τὴν γραμμὴν ὀξυτελέστου χαραγῆς τὰ πάντα δημιουργήσας· ἐν γὰρ ἀκαριαίᾳ χρόνου ροπῇ καὶ ἀτόμου διαβάσεως ριπῇ, τουτέστιν οὐ καιρῶν ἀναμονῇ, οὐδὲ τῇ κατὰ μέρος πάλιν τῶν κτισθέντων προσθετικῇ προκοπῇ, οὐδὲ ἔτι ἐξ ὕλης τινὸς αὐτομάτου, καθώς τινες ἐφαντάσθησαν, Θεῷ συμβοηθούσης, νεύματι δὲ πατρικῷ παρὰ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ τὰ πάντα γεγόνασι θεαρχικῶς, ἐξ οὗ καὶ ἡ τοῦ Χρυσοστόμου γλῶσσα τὴν χάριν ἐν τοῖς χείλεσιν ἤντλησεν, ὅστις, ὅταν ἀνοίγῃ τὸ στόμα, ἐμπιπλᾷ πᾶν ζῶον λογικῆς καταλήψεως· τῇ γὰρ ἀνοίξει τοῦ στόματος αὐτοῦ ἕλκει κατὰ τὸ γεγραμμένον τὸ Πνεῦμα πρὸς ἑαυτὸν τὸ ἅγιον καὶ πᾶσι χαρίης ὁμοῦ καὶ εὐφραδὴς κατανοεῖται κοινῶς ρητορεύων τῇ ὑφηγήσει, σοφῶς ἰδιωτεύων τῇ παραδόσει, εὐγνώστως μαθητευόμενος, κοινωφελῶς ἐπιγινωσκόμενος, μὴ ἀγνοῶν φιλοσοφεῖν, ἀλλὰ ζητῶν καρποφορεῖν, μὴ ἀπορῶν τάχους λέξεων, ἀλλὰ κάλλους, ἐπιποθῶν νοημάτων, μὴ κωλύων ἑαυτὸν τοῖς διψῶσιν, ἀλλὰ ποταμὸν σαφηνείας εἰς ἔρημον φρενῶν ἀπαιδευσίας ἑαυτὸν ὑπερεκχύνων πλουσίως καὶ γῆν ἄνυδρον ἀκροαμάτων εἰς διεξόδους διδακτικοὺς μετομβρίζων ἀρδευμάτων. Ἐπάρασα γὰρ τάχα γυνή τις φωνὴν ἐκ τοῦ ὄχλου εἶπε πρὸς αὐτόν· μακαρία μὲν πάτερ ἡ τοῦ στόματός σου φωνὴ καὶ νοῦς, ὃν ἐξήσκησας, μενοῦν γε πάλιν μακάριοι καὶ οἱ τοὺς σοὺς κατισχύοντες νοητικῶς ἀντλῆσαι λόγους. Ἀλλὰ δὸς καὶ ταῖς ἀνυδροτοκούσαις ψυχαῖς τῶν σῶν διδαγμάτων τὸ νᾶμα, ἔστωσαν καὶ ταῖς ἐν ἅλμῃ τῆς ἀλογιστίας κεκακωμέναις ψυχαῖς ποτισμοὶ καρποφορίας οἱ πόνοι τῆς σῆς ἐν τοῖς λαοῖς προσομιλίας. Γνώρισον καὶ ταῖς τῶν ἀσθενῶν διανοίαις τὴν δύναμιν τῶν σῶν ὀμβροτόκων χειλέων Ἰδοὺ γὰρ ἐγὼ καταλιποῦσα ἅπαντά μου τῶν οἰκιακῶν τὰ ἔργα ἔδραμον ὡς εἴ τις ἔκδιψος καὶ πυκνοπότης ἔλαφος ἐπὶ τὸν χειμάρρουν τῆς τρυφῆς τῶν σῶν λόγων. Καὶ ἀπὸ μὲν φωνῆς ρημάτων σου ὡς ὑδάτων πολλῶν θαυμαστοὺς τοὺς μετεωρισμοὺς τῆς διδασκαλικῆς σου θαλάσσης εἶναι πιστεύω, σταγόνα δὲ ἐξ αὐτῶν μὴ δυνηθεῖσα λαβεῖν ἀπέρ-

Institutional Repository - Library & Information Centre - University of Thessaly
04/06/2024 11:46:35 EEST - 3.149.233.40

χομαι πρὸς τῇ ψυχικῇ τῆς δίψης ζημίᾳ καὶ τὸ πολὺ τῆς ἡμέρας ἀνέργαστον ταῖς ὑπὲρ τοῦ οἴκου μου καταναλώσασα μερίμναις. Τούτων ἀκούσας ὡς ὁ λόγος, ὁ πατὴρ μετέστρεψε τὴν ἀκρότομον τοῦ στόματος αὐτοῦ πέτραν εἰς λίμνας ἐξαντλουμένης σοφίας καὶ ἔσπειρεν ἀγροὺς ἀπὸ τότε κεχερσωμένους καὶ ἐφύτευσεν ἀμπελῶνας εὐτρύγων σαφηνισμάτων καὶ ἐποίησε καρποὺς τελεσφορικῶν γεννημάτων καὶ ἐβοήθησε πένησι πτωχονοίας μὴ γεωργούσης φρονήσεως ῥῆσιν, καὶ ἔθετο ὡς πρόβατα πατριᾶς τὸν λαὸν αὐτοῦ τοῦ ἰδίου ποιμένος εὐσυνόπτως διαγινώσκοντα τὴν φωνήν. Τοιαύτη τοῦ Χρυσοστόμου τῶν λόγων ἡ πηγή, ἡ μωσαϊκῶς ἐκβλύζουσα κατὰ τῆς τοῦ διαβόλου πικρίας τοῦ ἐσταυρωμένου Χριστοῦ τὴν πίστιν, ἡ ἐλισαϊκὴ τῶν ἀτεκνούντων πρὸς ἐπίγνωσιν ὑδρία, ἡ τὸ ἀποστολικὸν ἅλας ἐναρτυθεῖσα καὶ τὴν κοινωφελῆ σωτηρίαν πλουσίως ἐπικιρνῶσα, περὶ ἧς ὁ Κύριος λέγει ἴαμαι τοὺς ἐξαντλητικοὺς ἀκροατὰς τῆς τοῦ Χρυσοστόμου πηγῆς. Οὐκ ἔστιν ἐν αὐτῇ λοιπὸν ἀτεκνούμενος ἀκροάμων. Διὸ καὶ τοῦτο λέγειν ἁρμόδιον ὅτι περ ὡς ἐν τῇ τῶν πυρίνων ποτὲ γλωσσῶν τοῦ παναγίου Πνεύματος ἐπιφοιτήσει τῶν ἀποστόλων τηνικαῦτα τοῖς ἐξ ἁπάσης τῆς γῆς ἐπισυναχθεῖσιν ἐν Ἱερουσαλὴμ τὰ μεγαλεῖα τοῦ Θεοῦ προσφθεγγομένων, ἕκαστος τῇ ἰδίᾳ φύσει καὶ ἐν ᾗ περ ἐγεννήθη ἤκουσε διαλέκτῳ τῆς μιᾶς τῶν μαθητῶν του Κυρίου φωνῆς εἰς τὴν τῶν ἁπάντων διαμερισθείσης τῶν ἐθνῶν γλῶσσαν καὶ τῆς ξένης λαλιᾶς τὴν αὐτὴν τῆς ἐνωτίσεως τοῖς ὅλοις χαρισαμένης ἀκρόασιν, οὕτω ἀπαραλλάκτως συμβαίνει καὶ ἐπὶ τῶν τοῦ Χρυσοστόμου διδαγμάτων· καὶ γὰρ ὁ βραδὺς εἰς τὸ νοῆσαι καὶ ὁ ταχὺς εἰς τὸ συνιέναι τῆς ἴσης καὶ ὁμοίας αὐτῶν καταλήψεως ἀπολαύει. Μερίζει γὰρ τοῖς ἅπασι τὴν ἐξ αὐτῶν εὐεργεσίαν ὡς ὄμβρος ἐπὶ ἄγρωστιν καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον τὴν αὐτὴν καὶ ἰσόφθογγον ἑκάστῳ κατανήχει πρὸς ἐπικαρπίαν τοῦ πνεύματος δωρεὰν ὁ τὸν ἅπαντα κόσμον χρεώστην τῶν αὐτοῦ διδαχῶν καταστήσας, ὁ τὴν ὅλην οἰκουμένην τῶν οἰκείων συγγραμμάτων ὑπεργεμίσας. Εἶπε γὰρ καὶ πρὸς αὐτὸν ὁ Θεὸς πλάτυνον τὸ στόμα σου καὶ πληρώσω αὐτό, ὡς ἐντεῦθεν πᾶσα χώρα καὶ πόλις τῶν διδασκαλικῶν αὐτοῦ βίβλων ὑπατεύθη τὸν πλοῦτον καθάπερ ἐν ἐπιτυχίᾳ χρυσοῦ τὴν ἐξ αὐτῶν πραγματευόμεναι τῆς ὠφελείας μελέτην. Τίς γαρ ζῶν οὕτως ἐλάλησεν ἢ θανὼν οὕτω ζωοποιεῖ διδάσκων; Ὁ κατανυκτικὸς τῶν ἐκκλησιῶν ἐξηγητὴς καὶ κατηχητικὸς τῶν μελῶν διορθωτὴς καὶ ποθητὸς τῶν Γραφῶν ἑρμηνευτής, περὶ οὗ καὶ ἀκμήν, ὡς οἶμαι, τὸν ἀγνώριστον αὐτοῦ κόσμον, εἰ καί τις αὐτὸν ὁ μὴ γνωρίζων ὑπάρχει κόσμος, τὰ γεγραμμένα πρὸς αὐτὸν ἀναβοᾶν, δεῖξόν μοι τὴν ὄψιν σου καὶ ἀκούτισόν μου τὴν φωνήν σου, ὅτι ἡ φωνή σου γλυκεῖα καὶ ἡ ὄψις σου ὡραία. Ὁ Χρυσόστομος διὰ τιμιότητα τοῦ Χριστοῦ μαθητὴς καὶ τοῦ στόματος τοῦ Χριστοῦ διὰ τὴν λαμπρότητα τοῦ φωτισμοῦ χρυσός, ὁ ἐν στόματι χρυσῷ σωματώσας τοὺς λόγους, ὅπως καὶ χρυ-

Institutional Repository - Library & Information Centre - University of Thessaly
04/06/2024 11:46:35 EEST - 3.149.233.40

σῶν ῥημάτων χωνευτὴς ἀναφανῆ καὶ πλούτου μεταδοτικὴ παλάμη, ὁ ἐξάκουστος εἰς τὰ πέρατα φθόγγος, ὁ ὀρθόδοξος τῶν ὑπ' οὐρανὸν ἦχος, ὁ ἔμψυχος τῆς πίστεως αὐλός, ἡ τῆς θεολογίας πρὸς τὸ κωφάναι τοὺς αἱρετικοὺς βροντή, ἡ εὔτονος τῆς ἐκκλησίας λύρα, ἡ εὔλαλος τοῦ ἁγίου Πνεύματος κιθάρα καὶ τῆς, ὡς γέγραπται, δεκαχόρδου φωνῆς τῶν σωματικῶν ἐν τοῖς ἀνθρώποις, φημί, νενευρωμένων δεκαλόγων ἐντολῶν ἔναρθρος ἁρμονία, ὁ τῆς ὀξυωπίας τῶν δογμάτων ἐγρήγορος ὀφθαλμός, ὁ ἐγκάρδιος τῆς κατανύξεως ὄμβρος, ὁ ὑψηλὸς τῆς ταπεινοφροσύνης βαθμός, ἡ χρυσεπώνυμος προσηγορία, ἡ πολυκτήμων τοῦ κόσμου κληρονομία, ὁ ὑπερόβρυζος νοῦς, ὁ ἀπαραχάρακτος λογισμός, ὁ ἀνεπιβούλευτος θησαυρός, ὁ τῆς ἀσυλαγωγίας τῶν ἀκεραίων φρονημάτων κεκλεισμένος, ὡς γέγραπται, κῆπος καὶ τῆς μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν ἀπειθοῦσιν αἱρετικοῖς ἐσφραγισμένη, κατὰ τὸ γεγραμμένον, πηγή, ὁ ἐπιθυμητὸς τοῦ παντὸς συμπολίτης, τὸ γλυκύτερον μέλιτος στόμα, τὸ ἡδύποτον τῆς ἐκκλησίας γλεῦκος, τὸ ποτιστικὸν τῶν ἁπλουστέρων γάλα, τὸ στερεὸν τῶν τελειοφρόνων βρῶμα, ὁ ἐπιστατικὸς τῆς Γραφῆς σπόγγος, ἡ τοῦ Ἀερμὼν διδάσκαλος δρόσος, ἡ φιλόπονος τῶν ὠφελίμων βιβλιοθήκη, ἡ θρεπτικὴ τῶν χαρισμάτων τοῦ Πνεύματος ἀποθήκη, τὸ φιλόπτωχον τῆς ἐλεημοσύνης βαλάντιον, ἡ φιλόδωρος τῆς συμπαθείας δεξιά, ὁ πλούσιος περὶ τοὺς πτωχοὺς δανειστὴς τοῦ Θεοῦ, ὁ τὰς κοιλίας τῶν ἐλαχίστων ἀεὶ καταχορτάσας καὶ τὸν Χριστὸν πεινάσαι δι' αὐτῶν μὴ ποιήσας, ὁ πρὸς τὸ πῦρ τῶν χρημάτων σωφρονιστὴς καὶ ἔλαιον ἑτοιμαστικὸν τῶν ἀσβέστων λαμπάδων τῆς ψυχῆς, ὁ τῆς μετανοίας καθημερινὸς ἀντιφωνητής, ὁσάκις γάρ, φησι, πέσῃς, ἔγειρε καὶ ὁσάκις πταίσῃς, ἐπίστρεψον καὶ ἀφεθήσεταί σοι, ἡ τῆς τριαδικῆς ὁμολογίας ζύμη, ἣν ἡ τῆς ἐκκλησίας ἀρτοκοπήσασα πέτρα ὡς ἐν πήλα (ἴσ. μύλᾳ) τῇ τούτου διδαχῇ τὸν ἐν λιμῷ λόγου διατρέφει λαὸν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Κ. Ι. ΔΥΟΒΟΥΝΙΩΤΗΣ

Institutional Repository - Library & Information Centre - University of Thessaly
04/06/2024 11:46:35 EEST - 3.149.233.40